σοὶ τάδε θῆλυς Ἄλεξις ἑῆς οἰστρήματα λύσσης
ἄνθετο, χαλκοτύπου παυσάμενος μανίης,
κύμβαλά τ᾽ ὀξύφθογγα βαρυφθόγγων τ᾽ ἀλαλητόν
αὐλῶν, οὓς μόσχου λοξὸν ἔκαμψε κέρας,
τύμπανά τ᾽ ἠχήεντα καὶ αἵματι φοινιχθέντα
φάσγανα καὶ ξανθὰς τὰς πρὶν ἔσεισε κόμας.
ἵλαος, ὦ δέσποινα, τὸν ἐν νεότητι μανέντα
γηραλέον προτέρης παῦσον ἀγρειοσύνης.

## XLIII

ὀξέσι λαχνήεντα δέμας κέντροισιν ἐχῖνον
ῥαγολόγον, γλυκερῶν σίντορα θειλοπέδων,
σφαιρηδὸν σταφυλῇσιν ἐπιτροχάοντα δοκεύσας
Κώμαυλος Βρομίῳ ζωὸν ἀνεκρέμασεν.

## XLIV

αὐτῷ καὶ τεκέεσσι γυναικί τε τύμβον ἔδειμεν
Ἀνδροτίων, οὔπω δ᾽ οὐδ᾽ ἑνός εἰμι τάφος.
οὕτω καὶ μείναιμι πολὺν χρόνον· εἰ δ᾽ ἄρα καὶ δεῖ,
δεξαίμην ἐν ἐμοὶ τοὺς προτέρους προτέρους.

## XLV

ἐνθάδ᾽ ἐγὼ ληστῆρος ὁ τρισδείλαιος ἄρηι
ἐδμήθην, κεῖμαι δ᾽ οὐδενὶ κλαιόμενος.